Ακαδημία Αθηνών / Academy of Athens



237 *φιλονικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενέος βλαβερὸν θ ε ω ρ ε ῦ σ α τὸ ἴδιον συμφέρον οὐ βλέπει.*

**θεωρία.** Θεωρία/ἐμφάνιση, aspect/appearance, Δημόκριτος 195 *εἴδωλα ἐσθῆτι καὶ κόσμῳ διαπρεπέα πρὸς θ ε ω ρ ί η ν , ἀλλὰ καρδίης κενεά.*

**θῆλυ** (τύπ. *θηλύτερον*, ἀντίθ. *ἄρσεν*). Τὸ θῆλυ, female, Παρμενίδης 12.5-6 *πέμπουσ' ἄρσενι θ ῆ λ υ μιγῆν τό τ' ἐναντίον αὖτις ἄρσεν θ η λ υ τ έ ρ ῳ* Πυθαγόρειοι 5 (DK I 452,41) *ἄρρεν καὶ θ ῆ λ υ.*

**θήρ.** Ζῶο/θηρίο, animal/wild beast, 'Εμπεδοκλῆς 9,2 *κατὰ θ η ρ ῶ ν ἀγροτέρων γένος* 20.7 *θ η ρ σ ί τ' ὀρειλεχέεσσιν* 23.7 *θ ῆ ρ ά ς τ' οἰωνούς τε* 26.4 *ἄλλων ἔθνεα θ η ρ ῶ ν* 127.1 *ἐν θ ή ρ ε σ σ ι λέοντες ὀρειλεχέες χαμαιεῦναι* 130.2 *θ ῆ ρ έ ς τ' οἰωνοί τε.*

**θήρειος.** Τοῦ θηρίου/τοῦ ἄγριου ζώου, of beast/of wild animal, 'Εμπεδοκλῆς 101 *κέρματα θ η ρ ε ί ω ν μελέων.*

**θησαύρισμα.** Θησαύρισμα/πλῆθος, store (or treasure)/plenty of, Δημόκριτος 149 *ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον . . . καὶ θ η σ α ύ ρ ι σ μ α.*

**θνήσκειν.** Βλ. **ἀποθνήσκειν.**

**θνητός** (συνών. *ἐφημέριος*, ἀντίθ. *ἄμβροτος, ἀθάνατος, ἀίδιος*) **1.** Θνητός, mortal, 'Ηράκλειτος 62 *ἀθάνατοι θ ν η τ ο ί* 'Εμπεδοκλῆς 17.26 *οὔ τις μετὰ τοῖσιν ἑλισσομένην* (sc. *'Αφροδίτην*) *δεδάηκε θ ν η τ ὸ ς ἀνήρ* 112.4 *ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θ ν η τ ὸ ς* 113.2 *εἰ θ ν η τ ῶ ν περίειμι πολυφθερέων ἀνθρώπων.* ‖ Δημόκριτος 297 *ἔνιοι θ ν η τ ῆ ς φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι* **2** (συνών. *ἄνθρωποι, βροτοί*, ἀντίθ. *θεός, ἀθάνατος*). Οἱ ἄνθρωποι, mortal men, Ξενοφάνης 18 *οὔτοι ἀπ' ἀρχῆς πάντα θεοὶ θ ν η τ ο ῖ σ' ὑπέδειξαν, ἀλλὰ χρόνῳ ζητοῦντες ἐφευρίσκουσιν ἄμεινον* 23 *εἷς θεός, ἔν τε θεοῖσι καὶ ἀνθρώποισι μέγιστος, οὔ τι δέμας θ ν η τ ο ῖ σ' ὁμοίιος οὐδὲ νόημα* 36 *ὁππόσα δὴ θ ν η τ ο ῖ σ ι ν πεφήνασιν εἰσοράασθαι* 'Ηράκλειτος 29 *αἱρεῦν-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ται ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν 62 θνητοὶ ἀθάνατοι Ἐμπεδοκλῆς 3.7 μηδὲ σέ γ' εὐδόξοιο βιήσεται ἄνθεα τιμῆς πρὸς θνητῶν ἀνελέσθαι 17.20 ἥτις καὶ θνητοῖσι νομίζεται ἔμφυτος ἄρθροις 124 ὢ πόποι, ὢ δειλὸν θνητῶν γένος, ὢ δυσάνολβον **3.** Τὰ θνητά, mortal beings, Ἀλκμαίων 1 περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι Ἐμπεδοκλῆς 8.2 φύσις οὐδενὸς ἔστιν ἁπάντων θνητῶν, οὐδέ τις οὐλομένου θανάτοιο τελευτὴ 17.3 δοιὴ δὲ θνητῶν γένεσις, δοιὴ δ' ἀπόλειψις 22.3 ἄρθμια μὲν γὰρ ταῦτα ἑαυτῶν πάντα μέρεσσιν, ἠλέκτωρ τε χθών τε καὶ οὐρανὸς ἠδὲ θάλασσα, ὅσσα φιν ἐν θνητοῖσιν ἀποπλαχθέντα πέφυκεν 23.10 οὕτω μή σ' ἀπάτη φρένα καινύτω ἄλλοθεν εἶναι θνητῶν, ὅσσα γε δῆλα γεγάκασιν ἄσπετα 35.7 τῶν δέ τε μισγομένων χεῖτ' ἔθνεα μυρία θνητῶν 35.14 αἶψα δὲ θνήτ' ἐφύοντο, τὰ πρὶν μάθον ἀθάνατ' εἶναι 35.16 τῶν δέ τε μισγομένων χεῖτ' ἔθνεα μυρία θνητῶν, παντοίαις ἰδέῃσιν ἀρηρότα, θαῦμα ἰδέσθαι 71.3 πῶς ὕδατος γαίης τε καὶ αἰθέρος ἠελίου τε κιρναμένων εἴδη τε γενοίατο χροιά τε θνητῶν τόσσ', ὅσα νῦν γεγάασι συναρμοσθέντ' Ἀφροδίτῃ 115.7 δαίμονες οἵτε μακραίωνος λελάχασι βίοιο, τρίς μιν μυρίας ὥρας ἀπὸ μακάρων ἀλάλησθαι, φυομένους παντοῖα διὰ χρόνου εἴδεα θνητῶν ἀργαλέας βιότοιο μεταλλάσσοντα κελεύθους Δημόκριτος 189 εἴ τις μὴ ἐπὶ τοῖς θνητοῖς τὰς ἡδονὰς ποιοῖτο.

**θοάζειν.** Θρονιάζομαι, be enthroned, Ἐμπεδοκλῆς 3.8 *θάρσει —καὶ τότε δὴ σοφίης ἐπ' ἄκροισι θοάζειν.*

**θοός.** Γοργὸς/γρήγορος, quick, Ἐμπεδοκλῆς 73 *θοῷ πυρὶ* 134.3 *οὐ πόδες, οὐ θοὰ γοῦν(α) . . . φροντίσι κόσμον ἅπαντα καταΐσσουσα θοῇσιν.*

**θορή.** Σπέρμα, semen, Ἀλκμαίων 3 *παρὰ τὴν λεπτότητα τῆς θορῆς καὶ ψυχρότητα.*

**Θόωσα** (ἀντίθ. *Δηναίη*). Ἡ Θόωσα (προσωποπ.) Thoossa (personif.), Ἐμπεδοκλῆς 122.3 *Καλλιστώ τ' Αἰσχρή τε, Θόωσά τε Δηναίη τε.* Πρβλ. *θοός*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ